ὁ σοφὸς ἀπεφήνατο· ἐγὼ δὲ ἀδύνατον μὲν ταὐτὸ λέγω τὸ λέγειν
τὴν τοῦ ὄντος γνῶσιν· τί μοι τὸ λεγόμενον· τί τὸ ἐλπιζόμενον·
μαστι λέγω φιλοσοφίας ὅσον ἔργον· ἡγοῦμαι δὲ μὴ ἄλλο ὅτι τοῦτο
εἶναι, ἢ τὸ τυχεῖν τοῦ καθαρωτάτου τε καὶ τελεωτάτου· τὸ
τελεώτατον δὲ τῶν ὄντων, γνῶσις θεοῦ· ἀλλὰ τὸ μὲν κα-
τέχωμεν· τὸ δὲ καταλαμβάνωμεν· ὅσον ἐμμένειν ὑπὲρ γῆς·
τὸ δὲ ἐκεῖθεν ταμιευσώμεθα· ἵνα ταύτην σχῶμεν
τῆς φιλοπονίας τὴν ἐπικαρπίαν· ὅλην τῆς ἁγίας
τριάδος τὴν ἔλλαμψιν· ἥτις ἐστὶ καὶ οἵα καὶ ὅση, εἰ θε-
μιτὸν τοῦτο φάναι· ἐν αὐτῷ Χριστῷ τῷ κυρίῳ ἡμῶν ᾧ ἡ δόξα εἰς
τοὺς αἰῶνας ἀμήν·:—

† Πρὸς Εὐνομιανοὺς προδιάλεξις· ἢ ὅτι οὐ παντὸς τὸ
περὶ θεοῦ διαλέγεσθαι, ἢ πάντοτε:—

λ. ιϛ ἀρχ. η Πρὸς τοὺς ἐν λόγῳ κομψοὺς ὁ λόγος· καὶ ἵν' ἀπὸ τῆς γραφῆς
ἄρξωμαι· ἰδοὺ ἐγὼ ἐπὶ σὲ τὴν ὑβρίστριαν· ἔστι γὰρ ἔστι τινὲς,
οἳ τὴν ἀκοὴν προσκνώμενοι καὶ τὴν γλῶσσαν· ἤδη
δὲ ὡς ὁρῶ καὶ τὴν χεῖρα τοῖς ἡμετέροις λόγοις χαίρουσι ταῖς
βεβήλοις κενοφωνίαις
καὶ ἀντιθέσεσι τῆς ψευδωνύμου γνώσεως· καὶ ταῖς εἰς
οὐδὲν χρήσιμον φερούσαις λογομαχίαις· οὕτω γὰρ
ὁ παῦλος καλεῖ πᾶν τὸ ἐν λόγοις περιττὸν καὶ περίεργον·
ὁ τοῦ συντετμημένου λόγου κῆρυξ καὶ βεβαιωτής· ὁ
τῶν ἁλιέων μαθητὴς καὶ διδάσκαλος· οὗτοι δὲ περὶ ὧν ὁ λόγος·
εἴθε μὲν ὥσπερ τὴν γλῶσσαν εὔστροφοί τε καὶ δεινοὶ
λόγοις ἐπιθέσθαι τοῖς εὐγενεστέροις τε καὶ δοκιμωτέροις·
οὕτω τι καὶ περὶ τὰς πράξεις ἠσχολοῦντο· μικρὸν γοῦν
ἴσως καὶ ἧττον ἂν ἦσαν σοφισταὶ καὶ κυβευταὶ λόγων ἄτοποι
καὶ παράδοξοι· ἵν' εἴπω τι καὶ γελοῖον περὶ γελοίου πράγματος·

UNIVERSITÄTS-BIBLIOTHEK HEIDELBERG
BIBLIOTECA APOSTOLICA VATICANA
© Biblioteca Apostolica Vaticana
The Polonsky Foundation
https://digi.ub.uni-heidelberg.de/diglit/bav_pal_gr_218/0302